III

GR

8711

C.12.a.4

ΤΟ ΤΟΥ

ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ.

EX EDITIONE
JOANNIS UPTON
Accurate Expreſſum.

GLASGUAE:
Excudebant R. et A. Foulis.
MDCCLXV.

166 a 36

(J.R.S.H.)
B.R. MUS.

ΤΟ ΤΟΥ

ΕΠΙΚΤΗΤΟΥ

ΕΓΧΕΙΡΙΔΙΟΝ.

Ι. ΤΩΝ ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν. ἐφ' ἡμῖν μὲν, ὑπόληψις, ὁρμὴ, ὄρεξις, ἔκκλισις, καὶ ἐνὶ λόγῳ ὅσα ἡμέτερα ἔργα· οὐκ ἐφ' ἡμῖν δὲ, τὸ σῶμα, ἡ κτῆσις, δόξαι, ἀρχαὶ, καὶ ἐνὶ λόγῳ, ὅσα οὐχ ἡμέτερα ἔργα. καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀ-

παρεμπόδισαι· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτά, ἀλλότρια. μέμνησο οὖν ὅτι ἐὰν τὰ φύσει δοῦλα ἐλεύθερα οἰηθῇς, ἢ τὰ ἀλλότρια ἴδια, ἐμποδισθήσῃ, πενθήσεις, ταραχθήσῃ, μέμψῃ ἢ θεοὺς ἢ ἀνθρώπους· ἐὰν δὲ τὸ σὸν, μόνον οἰηθῇς σὸν εἶναι, τὸ δὲ ἀλλότριον, ὥσπερ ἐστὶν, ἀλλότριον, οὐδείς σε ἀναγκάσει οὐδέποτε, οὐδείς σε κωλύσει, οὐ μέμψῃ οὐδένα, οὐκ ἐγκαλέσεις τινι, ἄκων πράξεις οὐδὲ ἕν, οὐδείς σε βλάψει, ἐχ-

θρὸν ὐχ ἕξεις· ὐδὲ γὰρ βλαβερόν τι πάσῃ. τηλικούτων οὖν ἐφιέμενος, μέμνησο ὅτι ἃ δεῖ ὐδὲ μετρίως κεκινημένων ἅπτεσθαι αὐτῶν· ἀλλὰ τὰ μὲν ἀφιέναι παντελῶς, τὰ δ' ὑπερτίθεσθαι πρὸς τὸ παρὸν. ἐὰν δὲ καὶ ταῦτ' ἐθέλῃς, καὶ ἄρχειν καὶ πλουτεῖν, τυχὸν μὲν ὐδ' αὐτῶν τούτων τεύξῃ, διὰ τὸ καὶ τῶν προτέρων ἐφίεσθαι. πάντως γε μὴν ἐκείνων ἀποτεύξῃ, δι' ὧν μόνων εὐδαιμονία καὶ ἐλευθερία περιγίνεται. εὐθὺς οὖν πάσῃ

φαντασίᾳ τραχύᾳ μελέτα ἐπιλέγειν, ὅτι φαντασία εἶ, καὶ οὐ πάντως τὸ φαινόμενον. ἔπειτα ἐξέταζε τοῖς κανόσι τούτοις, οἷς ἔχεις· πρώτῳ δὲ τούτῳ καὶ μάλιστα, πότερον περὶ τὰ ἐφ' ἡμῖν ἐστιν, ἢ περὶ τὰ οὐκ ἐφ' ἡμῖν. κἂν περί τι τῶν οὐκ ἐφ' ἡμῖν ᾖ, πρόχειρον ἔστω τὸ, ὅτι οὐδὲν πρός σε.

2. ΜΕΜΝΗΣΟ ὅτι ὀρέξεως μὲν ἐπαγγελία, τὸ ἐπιτυχεῖν οὗ ὀρέγῃ· ἐκκλίσεως δὲ ἐπαγγελία, τὸ μὴ ἐμπεσεῖν

ἐκείνῳ, ὃ ἐκκλίνεται· καὶ ὁ μὲν ἐν ὀρέξει ἀποτυγχάνων, ἀτυχής· ὁ δὲ ἐν ἐκκλίσει περιπίπτων, δυσυχής. ἂν μὲν οὖν μόνα ἐκκλίνῃς τὰ παρὰ φύσιν τῶν ἐπί σοι, οὐδενὶ ὧν ἐκκλίνῃς περιπέσῃ. νόσον δ' ἂν ἐκκλίνῃς, ἢ θάνατον, ἢ πενίαν, δυσυχήσεις. ἆρον οὖν τὴν ἔκκλισιν ἀπὸ πάντων τῶν οὐκ ἐφ' ἡμῖν, καὶ μετάθες ἐπὶ τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν. τὴν ὄρεξιν δὲ παντελῶς ἐπὶ τῷ παρόντος ἄνελε. ἂν τε γὰρ ὀρέγῃ τῶν οὐκ ἐφ' ἡ-

μῖν τινος, ἀτυχῶν ἀνάγκη· τῶν δ' ἐφ' ἡμῖν, ὅσων ὀρέγεσθαι καλὸν ἄν, ὐδὲν ὕπω σοι πάρεστι. μόνῳ δὲ τῷ ὁρμᾶν ἢ ἀφορμᾶν χρῶ· κύφως μέν τοι, ἢ μεθ' ὑπεξαιρέσεως, ἢ ἀπειμένως.

3. ΕΦ' ἙΚΑΣΤΟΥ τῶν ψυχαγωγούντων, ἢ χρείαν παρασχόντων, ἢ ἐργομένων, μέμνησο ἐπιλέγειν, ὁποῖόν ἐστιν, ἀπὸ τῶν σμικροτάτων ἀρχόμενος. ἂν χύτραν σέργῃς, ὅτι χύτραν σέργεις· κατιαγήσῃς γὰρ αὐτῆς, ὑ

ταραχθήσῃ. ἂν παιδίον σαυτῦ καλαφιλῇς ἢ γυναῖκα, ὅτι ἄνθρωπον καταφιλῶς· ἀποθανόντος γὰρ αὐτῦ ὐ ταραχθήσῃ.

4. ΟΤΑΝ ἄψασθαί τινος ἔργυ μέλλῃς, ὑπόμενησον σεαυτὸν, ὁποῖόν ἐστι τὸ ἔργον. ἐὰν λυσόμενος ἀπίῃς, πρόσαλε σεαυτῷ τὰ γινόμενα ἐν βαλανείῳ· τὺς ἀποῤῥαίνονλας, τὺς ἐγχρυομένυς, τὺς λοιδορῦνλας, τὺς κλέπτονλας· καὶ ὕτως ἀσφαλέστερον ἅψῃ τῦ ἔργυ, ἐὰν ἐπιλέγῃς, ὅτι εὐ-

θὺς λύσασθαι θέλω, καὶ τὴν ἐμαυτῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι. ϗ ὡσαύτως ἐφ' ἑκάστυ ἔργυ. ὕτω γὰρ, ἄν τι πρὸς τὸ λύσασθαι γίνηται ἐμποδὼν, πρόχειρον ἔσαι, ὅτι ὐ τῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· ὐ τηρήσω δὲ, ἐὰν ἀγανακτῶ πρὸς τὰ γινόμενα.

5. ΤΑΡΑΣΣΕΙ τὺς ἀνθρώπυς, ὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων

δόγματα. οἷον, ὁ θάνατος οὐδὲν δεινὸν, ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο· ἀλλὰ τὸ δόγμα τὸ περὶ θανάτου, ὅτι δεινόν, ἐκεῖνο τὸ δεινόν ἐστιν. ὅταν οὖν ἐμποδιζώμεθα, ἢ ταραττώμεθα, ἢ λυπώμεθα, μηδέποτε ἄλλους αἰτιώμεθα, ἀλλ' ἑαυτοὺς, τουτέστι τὰ ἑαυτῶν δόγματα. ἀπαιδεύτου ἔργον, τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠρχμένου παιδεύεσθαι, τὸ ἑαυτῷ· πεπαιδεύμενου, τὸ μήτ' ἄλλῳ, μήθ' ἑαυτῷ.

6. ΕΠΙ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ἄν, ὅτι καλός εἰμι, οἰστὸν ἂν ἦν. σὺ δ' ὅταν λέγῃς ἐπαιρόμενος, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐπὶ ἵππῳ ἀγαθῷ ἐπαίρῃ. τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν. ὥσθ' ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπαρθήσῃ· τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

7. ΚΑΘΑΠΕΡ ἐν πλῷ, τῦ πλοίυ καθορμισθέντος, ἂν ἐξ-

ἰλθῃς ὑφρεύσασθαι, ὀδῶ μὲν
πάρεργόν ἐστι, καὶ κοχλίδιον
ἀναλέξασθαι ἢ βολβάριον·
τετάσθαι δὲ δεῖ τὴν διάνοι-
αν ἐπὶ τὸ πλοῖον, ᾧ συνεχῶς
ἐπιστρέφεσθαι, μή τοι γε ὁ
κυβερνήτης καλέσῃ· καὶ τότε
πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ
δεδεμένος ἐμβληθῇς, ὡς τὰ
πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ,
ἐὰν διδῶται ἀντὶ βολβαρίου
καὶ κοχλιδίου γυναικάριον καὶ
παιδίον, οὐδὲν κωλύσει· ἐὰν
δὲ ὁ κυβερνήτης καλέσῃ, τρέ-
χε ἐπὶ τὸ πλοῖον, ἀφεὶς ἐκεῖ-

να ἅπαντα, μηδὲν ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ἦς, μηδὲ ἀπαλλαγῇς ποῖε τῦ πλοίυ μακρὰν, μήποτε καλύμενος ἐλλίπῃς.

8. ΜΗ ΖΗΤΕΙ τὰ γενόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε γίνεσθαι τὰ γινόμενα ὡς γίνεται, καὶ εὑροήσεις.

9. ΝΟΣΟΣ, σώματός ἐστιν ἐμπόδιον· προαιρέσεως δὲ ὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. χώλανσις, σκέλυς ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ ὔ. καὶ τῦτο ἐφ' ἑκάστυ τῶν ἐμπιπτόντων

ἐπίλεγε· εὑρήσεις γὰρ αὐτὸ ἄλλω τινὸς ἐμπόδιον, σοὶ δὲ οὔ.

10. ΕΦ' ἙΚΑΣΤΟΥ τῶν προσπιπτόντων μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. ἐὰν καλὸν ἴδῃς ἢ καλὴν, εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν. ἐὰν πόνος προσφέρηται, εὑρήσεις καρτερίαν· ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.

11. ΜΗΔΕΠΟΤΕ ἐπὶ μηδενὸς εἶπῃς, ὅτι ἀπώλεσα αὐτό, ἀλλ' ὅτι ἀπέδωκα. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. τὸ χωρίον ἀφῃρέθη; ἴσως δὲ τοῦτο ἀπεδόθη; ἀλλὰ κακὸς ὁ ἀφελόμενος. τί δέ σοι μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; μέχρι δ' ἂν δίδῳ, ὡς ἀλλοτρίῳ αὐτῷ ἐπιμελοῦ, ὡς τῷ πανδοχεῖ οἱ παριόντες.

12. ΕΙ ΠΡΟΚΟΨΑΙ θέλεις, ἄφες τὰς τοιούτους διαλογισμούς· ἐὰν ἀμελήσῃς τῶν ἐμῶν,

ὐχ ἕξω διατροφάς· ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται· κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν, ἄλυπον καὶ ἄφοβον γενόμενον, ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον. κρεῖττον δὲ, τὸν παῖδα κακὸν εἶναι, ἢ σὲ κακοδαίμονα. ἄρξαι τοιγαρῶν ἀπὸ τῶν σμικρῶν. ἐκχεῖται τὸ ἐλάδιον; κλέπτεται οἰνάριον; ἐπίλεγε, ὅτι τοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία· προῖκα ἢ ὠδὶν παραγίνεται. ὅταν δὲ καλῆς τὸν παῖδα, ἐνθυμοῦ ὅτι δύνα-

ται μὴ ὑπακούσαι· ἢ ὑπακού-
σας, μηδὲν ποιῆσαι ὧν θέ-
λεις. ἀλλ' οὐχ οὕτως ἐστὶν αὐ-
τῷ καλῶς· ὅλως δέ σοι κα-
λῶς· ἵνα ἐπ' ἐκείνῳ ᾖ, τό σε
μὴ ταραχθῆναι.

13. ΕΙ ΠΡΟΚΟΨΑΙ θέλεις, ὑπόμεινον, ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξαι, καὶ ἠλίθιος. μηδὲν βούλου δοκεῖν ἐπίστασθαι. κἂν δόξῃς τισὶν εἶναί τις, ἀπίσει σεαυτῷ. ἴσθι γάρ, ὅτι οὐ ῥᾴδιον, ἢ τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχων ἐθέλεις φυλάξαι, ἢ τὰ ἐκτός·

ἀλλὰ τὸν ἑτέρῳ ἐπιμελούμενον, τῷ ἑτέρῳ ἀμελῆσαι πᾶσα ἀνάγκη.

14. ΕΑΝ θέλῃς τὰ τέκνα σου, ἢ τὴν γυναῖκα, ἢ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ· τὰ γὰρ μὴ ἐπί σοι, θέλεις ἐπί σοι εἶναι· καὶ τὰ ἀλλότρια, σὰ εἶναι. οὕτω κἂν τὸν παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλό τι. ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. τοῦτο οὖν ἄσκει, ἃ

δύνασαι. κύριος ἑκάστου ἐστὶν, ὁ τῶν ὑπ' ἐκείνου θελομένων, ἢ μὴ θελομένων, ἔχων τὴν ἐξουσίαν εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, μήτε θελέτω τι, μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις· εἰ δὲ μὴ, δυλεύειν ἀνάγκη.

15. ΜΕΜΝΗΣΟ, ὅτι ὡς ἐν συμποσίῳ, δεῖ σε ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατά σε; ἐκτείνας τὴν χεῖρα, κοσμίως μεταλάβε. παρέρχεται; μὴ κατέχε. ὦπω

ἦκα; μὴ ἐπίβαλλε πόρρω τῇ ὄρεξιν· ἀλλὰ περίμενε, μέχρις ἂν γένηται κατά σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς πλοῦτον, καὶ ἴσῃ ποτὲ ἄξιος τῶν Θεῶν συμπότης. ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλὰ καὶ ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν Θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος, καὶ οἱ ὅμοιοι, ἀξίως θεῖοί τε ἦσαν, καὶ ἐλέγοντο.

16. Ὅταν κλαίοντα ἴδῃς τινὰ ἐν πένθει, ἢ ἀποδημοῦντος τέκνου ἢ ἀποθανόντος, ἢ ἀπολωλεκότα τὰ ἑαυτοῦ, πρόσεχε μή σε ἡ φαντασία συναρπάσῃ, ὡς ἐν κακοῖς ὄντος αὐτοῦ τοῖς ἐκτός· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγειν ἔσω πρόχειρον, ὅτι τοῦτον θλίβει οὐ τὸ συμβεβηκός· ἄλλον γὰρ οὐ θλίβει· ἀλλὰ τὸ δόγμα τὸ περὶ τούτου. μέχρι μέντοι λόγου μὴ ὄκνει συμπεριφέρεσθαι αὐτῷ, κἂν οὕτω τύχῃ, καὶ συνεπιστενάζειν. πρόσ-

ἐχε μέν τοι, μὴ χ' ἕσωθεν σε-
ναίξῃς.

17. ΜΕΜΝΗΣΟ, ὅτι ὑπο-
κριτὴς ἀ δράματος, οἵα ἂν
θέλῃ ὁ διδάσκαλος. ἂν βρα-
χύ, βραχίος· ἂν μακρὸν,
μακρῦ· ἂν πτωχὸν ὑποκρί-
νεσθαί σε θέλῃ, ἵνα καὶ τῦ-
τον εὐφυῶς ὑποκρίνῃ· ἂν χω-
λὸν, ἂν ἄρχοντα, ἂν ἰδιώ-
την. σὸν γὰρ τοῦτ' ἐστὶ, τὸ
δοθὲν ὑποκρίνασθαι πρόσωπον
καλῶς· ἐκλέξασθαι δ' αὐτὸ,
ἄλλυ.

18. ΚΟΡΑΞ ὅταν μὴ αἴ-

σιον κεκράγῃ, μὴ συναρπαζέτω σε ἡ φαντασία· ἀλλ' εὐθὺς διαίρει παρὰ σεαυτῷ, καὶ λέγε, ὅτι τούτων ἐμοὶ οὐδὲν ἐπισημαίνεται, ἀλλ' ἢ τῷ σωματίῳ μου, ἢ τῷ κτησιδίῳ μου, ἢ τῷ δοξαρίῳ, ἢ τοῖς τέκνοις, ἢ τῇ γυναικί· ἐμοὶ δὲ πάντα αἴσια σημαίνεται, ἐὰν ἐγὼ θέλω. ὅ,τι γὰρ ἂν τούτων ἀποβαίνῃ, ἐπ' ἐμοί ἐστιν ὠφεληθῆναι ἀπ' αὐτοῦ.

19. ΑΝΙΚΗΤΟΣ εἶναι δύνασαι, ἐὰν εἰς μηδένα ἀγῶνα καταβαίνῃς, ὃν μὴ ἔστιν ἐπί

σοι νικῆσαι. ὅρα ἂν μήποτε ἰδών τινα προτιμώμενον, ἢ μέγα δυνάμενον, ἢ ἄλλως εὐδοκιμοῦντα, μακαρίσῃς, ὑπὸ τῆς φαντασίας συναρπασθείς. ἐὰν γὰρ ἐν τοῖς ἐφ' ἡμῖν ἡ ὐσία τῦ ἀγαθῦ ᾖ, ὔτε φθόνος, ὔτε ζηλοτυπία χώραν ἔξει. σὺ δὲ αὐτὸς οὐ στρατηγὸς, ἢ πρύτανις ἢ ὕπατος εἶναι θελήσῃς, ἀλλ' ἐλεύθερος· μία δὲ ὁδὸς πρὸς τῦτο, καταφρόνησις τῶν ὐκ ἐφ' ἡμῖν.

20. ΜΕΜΝΗΣΟ, ὅτι ὐχ ὁ

λοιδορῶν ἢ τύπτων ὑβρίζει, ἀλλὰ τὸ δόγμα τὸ περὶ τύπτων, ὡς ὑβριζόντων. ὅταν οὖν ἐρεθίσῃ σέ τις, ἴσθι ὅτι ἡ σή σε ὑπόληψις ἠρέθισε. τοιγαροῦν ἐν πρώτοις πειρῶ, ὑπὸ τῆς φαντασίας μὴ συναρπασθῆναι. ἂν γὰρ ἅπαξ χρόνου γ διατριβῆς τύχῃς, ῥᾷον κρατήσεις σεαυτοῦ.

21. ΘΑΝΑΤΟΣ, γ φυγὴ, γ πάντα τὰ ἄλλα τὰ δεινὰ φαινόμενα, πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν· μάλιστα δὲ πάντων ὁ θάνατος. καὶ

ὧδὲν ὠδέποτε ταπεινὸν ἐνθυμήσῃ, ὅτε ἄγαν ἐπιθυμήσεις τινός.

22. ΕΙ ΦΙΛΟΣΟΦΙΑΣ ἐπιθυμεῖς, παρασκευάζου αὐτόθεν, ὡς καταγελασθησόμενος, ὡς καταμωκησομένων σου πολλῶν, ὡς ἐρωτῶν, ὅτι ἄφνω φιλόσοφος ἡμῖν ἐπανελήλυθε, καὶ πόθεν ἡμῖν αὕτη ἡ ὀφρύς; σὺ δὲ ὀφρῦν μὲν μὴ σχῇς· τῶν δὲ βελτίσων σοι φαινομένων οὕτως ἔχου, ὡς ὑπὸ τοῦ Θεοῦ τεταγμένος εἰς ταύτην τὴν τάξιν. μέμνησο δὲ, ὅτι

ἐὰν μὲν ἐμμένῃς τοῖς αὐτοῖς, οἱ καταγελῶντές σου πρότερον, ὕστερον θαυμάσονταί· ἐὰν δὲ ἡττηθῇς αὐτῶν, διπλοῦν προσλήψῃ καταγέλωτα.

23. ΕΑΝ ποτέ σοι γένηται ἔξω γραφῆναι, πρὸς τὸ βούλεσθαι ἀρέσαι τινί, ἴσθι ὅτι ἀπώλεσας τὴν ὑπόστασιν. ἀρκοῦ οὖν ἐν παντὶ, τῷ εἶναι φιλόσοφος· εἰ δὲ καὶ δοκεῖν βούλει τῷ ἄλλῳ, σαυτῷ φαίνου, καὶ ἱκανὸς ἔσῃ.

24. ΟΥΤΟΙ σε οἱ διαλογισμοὶ μὴ θλιβέτωσαν, ἃ τι-

μος ἐγὼ βιώσομαι, χ̀ ὐδεὶς
ὐδαμῦ. εἰ γὰρ ἀτιμία ἐςὶ
κακὸν, ὐ δύνασαι ἐν κακῷ
εἶναι δι' ἄλλον, ὐ μᾶλλον ἢ
ἐν αἰσχρῷ. μήτι ὖν τὸ σὸν
ἔργον ἐςὶν, τὸ ἀρχῆς τυχεῖν;
ἢ παραληφθῆναι ἐφ' ἑςίασιν;
ὐδαμῶς. πῶς ὖν ἔτι τῦτ' ἐςὶν
ἀτιμία; πῶς δὲ ὐδεὶς ὐδαμῦ
ἔσῃ, ὃν ἐν μόνοις εἶναί τινα
δεῖ τοῖς ἐπί σοι, ἐν οἷς ἔξεςί
σοι εἶναι πλείςυ ἀξίῳ; ἀλλὰ
σοι οἱ φίλοι ἀβοήθητοι ἔσον-
ται; τί λέγεις τὸ ἀβοήθητοι;
ὐχ ἕξυσι παρά συ ἀργύριον,

ὐδὲ πολίτας Ῥωμαίων αὐτὺς
ποιήσεις. τίς ὖν σοι ἔπεν, ὅ-
τι ταῦτα τῶν ἐφ' ἡμῖν ἐστὶν,
ὐχὶ δὲ ἀλλότρια ἔργα; τίς
δὲ δῦναι δύναται ἑτέρῳ, ἃ μὴ
ἔχει αὐτὸς; κτῆσαι ὖν, φα-
σὶν, ἵνα χ ἡμεῖς ἔχωμεν. εἰ
δύναμαι κτήσασθαι, τηρῶν
ἐμαυτὸν αἰδήμονα, χ πιστὸν,
χ μεγαλόφρονα, δεικνύετε μ
ὁδὸν, χ κτήσομαι. εἰ δ' ἐμὲ
ἀξιῦτε τἀγαθὰ τὰ ἐμαυτῦ
ἀπολέσαι, ἵν' ὑμεῖς τὰ μὴ
ἀγαθὰ περιποιήσησθε, ὁρᾶτε
ὑμεῖς, πῶς ἄνισοί ἐστε καὶ

ἀγνώμονες. τί δὲ καὶ βού-
λεσθε μᾶλλον; ἀργύριον, ἢ
φίλον πιστὸν καὶ αἰδήμονα;
εἰς τοῦτο οὖν μοι μᾶλλον συλ-
λαμβάνετε, καὶ μὴ δι' ὧν
ἀποβαλῶ αὐτὸ, ταῦτά με
πράσσειν ἀξιοῦτε. ἀλλ' ὁ πα-
τρίς, φησιν, ὅσον ἐπ' ἐμοὶ,
ἀβοήθητος ἔσται. πάλιν, ποί-
αν ταύτην βοήθειαν; σοὰς
οὐχ ἕξει διά σε, οὔτε βαλα-
νῆα; καὶ τί τοῦτο; οὐδὲ γὰρ
ὑποδήματα ἔχει διὰ τὸν
χαλκέα, οὐδ' ὅπλα διὰ τὸν
σκυτέα. ἱκανὸν δὲ, ἐὰν ἕκα-

σος ἐκπληρώσῃ τὸ ἑαυτῦ ἔργον. εἰ δὲ ἄλλον τινὰ αὐτῇ κατεσκεύαζες πολίτην πιστὸν καὶ αἰδήμονα, οὐδὲν ἂν αὐτὴν ὠφελεῖς; ναί. ἴσχυεν οὐδὲ σὺ αὐτὸς ἀνωφελὴς ἂν εἴης αὐτῇ. τίνα οὖν ἔξω, φησὶ, χώραν ἐν τῇ πόλει; ἣν ἂν δύνῃ φυλάττων ἅμα τὸν πιστὸν καὶ αἰδήμονα. εἰ δ' ἐκείνην ὠφελεῖν βυλόμενος, ἀποβαλεῖς ταῦτα, τί ὄφελος ἂν αὐτῇ γένοιο, ἀναιδὴς καὶ ἄπιστος ἀποτελεσθείς;

25. ΠΡΟΕΤΙΜΗΘΗ τινὶς

ἢν ἱστιάσει, ἢ ἐν προσαγορεύσει, ἢ ἐν τῷ παραληφθῆναι εἰς συμβουλίαν; εἰ μὲν ἀγαθὰ ταῦτά ἐστι, χαίρειν σε δεῖ, ὅτι ἔτυχεν αὐτῶν ἐκεῖνος· εἰ δὲ κακά, μὴ ἄχθου, ὅτι σὺ αὐτῶν οὐκ ἔτυχες. μέμνησο δὲ, ὅτι οὐ δύνασαι, μὴ ταῦτὰ ποιῶν, πρὸς τὸ τυγχάνειν τῶν οὐκ ἐφ' ἡμῖν, τῶν ἴσων ἀξιοῦσθαι. πῶς γὰρ ἴσον ἔχειν δύναιτο, ὁ μὴ φοιτῶν ἐπὶ θύρας τινος, τῷ φοιτῶντι; ὁ μὴ παραπέμπων, τῷ παραπέμποντι; ὁ μὴ ἐπαινῶν, τῷ ἐ-

παινῶντι; ἄδικος ὢν ἔσῃ, καὶ ἄπλησος, εἰ μὴ προϊέμενος ταῦτα, ἀνδ' ὧν ἐκεῖνα πιπράσκεται, προῖκα αὐτὰ βουλήσῃ λαμβάνειν. ἀλλὰ πόσου πιπράσκονται θρίδακες; ὀβολοῦ, ἂν οὕτω τύχῃ. ἂν οὖν τὶς προϊέμενος τὸν ὀβολὸν, λάβῃ θρίδακας, σὺ δὲ μὴ προϊέμενος, μὴ λάβῃς, μὴ οἴου ἔλαττον ἔχειν τοῦ λαβόντος· ὡς γὰρ ἐκεῖνος ἔχει θρίδακας, οὕτω σὺ τὸν ὀβολὸν, ὃν οὐκ ἔδωκας. τὸν αὐτὸν δὴ τρόπον ἡ ἐνταῦθα. ἡ παρακλή-

θης ἐφ' ἑστάσιν τινος; ὁ γὰρ ἔδωκας τῷ καλοῦντι, ὅσου πωλεῖται τὸ δεῖπνον· ἐπαίνου δ' αὐτὸ πωλεῖ, θεραπείας πωλεῖ. δὸς οὖν τὸ διαφέρον, ἵνα σοι λυσιτελεῖ, ὅσου πωλῶνται. σὺ δὲ χρήσιμα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἅπληστος εἶ καὶ ἀβέλτερος. ὑδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις μὲν οὖν, τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀναστρέφεσθαι αὐτῷ ἐπὶ τῆς θύρας.

26. ΤΟ ΒΟΤΛΗΜΑ τῆς

φύσεως καταμαθεῖν ἐστιν, ἐξ ὧν ὑ διαφερόμεθα πρὸς ἀλλήλυς. οἷον, ὅταν τῦ γείτονος παιδάριον κατεάξῃ τὸ ποτήριον, ἢ ἄλλό τι, πρόχειρόν ἐστιν εὐθὺς λέγειν, ὅτι τῶν γινομένων ἐστίν. ἴσθι ὖν, ὅτι ὅταν ϗ τὸ σὸν κατεαγῇ, τοιῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτι ϗ τὸ τῦ ἄλλυ κατεάγη. ὕτω μετατίθει ϗ ἐπὶ τὰ μείζονα. τέκνον ἄλλυ τέθνηκεν, ἢ γυνή; ὐδείς ἐστιν ὃς ὐκ ἂν εἴποι, ὅτι ἀνθρώπινον. ἀλλ' ὅταν τὸ αὐτῦ τινος ἀποθάνῃ, εὐ-

θὺς, Οἴμοι, ταλας ἐγώ! ἐχρῆν δὲ μεμνῆσθαι, τί πάσχομεν, περὶ ἄλλων αὐτὸ ἀκούσαντες.

27. ΩΣΠΕΡ σκοπὸς πρὸς τὸ ἀποτυχεῖν ὐ τίθεται, οὕτως οὐδὲ κακῦ φύσις ἐν κόσμῳ γίνεται.

28. ΕΙ ΜΕΝ τὸ σῶμα σοῦ ἐπέτρεπέ τις τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν· ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα, ἐὰν λοιδορήσηταί σοι, ταραχ-

θῇ ἐκείνη, καὶ συγχυθῇ, ὑπ' αἰσχύνῃ τούτου ἕνεκα;

29. Ἕκαστον ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτῷ, καὶ ὅτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μὴ, τὴν μὲν πρώτην προθύμως ἥξεις, μηδὲν τῶν ἑξῆς ἐντεθυμημένος· ὕστερον δὲ, ἀναφανέντων τινῶν αἰσχρῶν, αἰσχυνθήσῃ. θέλεις Ὀλύμπια νικῆσαι; κἀγὼ, νὴ τὸν Θεὸν· καλὸν γάρ ἐστιν. ἀλλὰ σκόπει καὶ τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα· καὶ ὅτως ἅπτου σοῦ ἔργου. δοῦλος εὐτακτῶν, ἀ-

ταλκοφαγεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην, ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει, μὴ ψυχρὸν πίνειν, μὴ οἶνον, ὡς ἔτυχεν· ἁπλῶς, ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα εἰς τὸν ἀγῶνα παρέρχεσθαι· ἔστι δ' ὅτε χεῖρα ἐκβαλεῖν, σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν· ἔστ' ὅτε μαστιγωθῆναι, καὶ μετὰ ταῦτα πάντα νικηθῆναι. ταῦτα πάντα ἐπισκεψάμενος, ἐὰν ἔτι θέλῃς, ἔρχου ἐπὶ

τὸ ἀθλεῖν· εἰ δὲ μὴ, ὡς τὰ παιδία ἀναγραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ αὐλητάς, νῦν δὲ μονομάχους, εἶτα σαλπίζει, εἶτα τραγῳδεῖ· οὕτω καὶ σύ, νῦν ἀθλητὴς, νῦν δὲ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος, ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν· ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν, ἂν ἴδῃς, μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει. οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπί τι, οὐδὲ περιώδευσας· ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν.

ὕτω θεασάμενοί τινες φιλόσοφον, καὶ ἀκούσαντες ὕτω τινος λέγοντος, ὡς Εὐφράτης λέγει· καί τοι τίς ὕτω δύναται εἶτεῖν ὡς ἐκεῖνος; θέλησι καὶ αὐτοὶ φιλοσοφεῖν. ἄνθρωπε, πρῶτον ἐπίσκεψαι, ὁποῖόν ἐστι τὸ πρᾶγμα· εἶτα καὶ τὴν σεαυτοῦ φύσιν καταμάθε, εἰ δύνασαι βασάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστής; ἴδε σεαυτοῦ τοὺς βραχίονας, τοὺς μηροὺς, τὴν ὀσφῦν καταμάθε. ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε. δοκεῖς, ὅτι ταῦτα ποιῶν,

ὡσαύτως δύνασαι ἐσθίειν, ὡς-
αὐτως πίνειν, ὁμοίως δυσα-
ρεστεῖν; ἀγρυπνῆσαι δεῖ, πο-
νῆσαι, ἀπὸ τῶν οἰκείων ἀ-
πελθεῖν, ὑπὸ παιδαρίου καλα-
φρονηθῆναι, ἐν παντὶ ἥττον ἔ-
χειν, ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν
δίκῃ, ἐν πραγματίῳ παντί.
ταῦτα ἐπίσκεψαι, ἃ καὶ θέ-
λεις ἀντικαλλάξασθαι τού-
των ἀπάθειαν, ἐλευθερίαν, ἀ-
ταραξίαν. ἐὰν ᾖ μὴ, πρόσεχε
μὴ ὡς τὰ παιδία, νῦν φιλό-
σοφος, ὕστερον ᾖ τελώνης, ἔπει-
βήτωρ, ἔπειτα ἐπίτροπος Καί-

σαρος γένη. ταῦτα δ' συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον, ἢ ἀγαθὸν ἢ κακὸν εἶναι. ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τὸ σαυτοῦ, ἢ τὰ ἐκτός· ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω· τυτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

30. ΤΑ ΚΑΘΗΚΟΝΤΑ, ἀφ' ὑπάτων ταῖς σχέσεσι παραμετρεῖται. πατήρ ἐστιν; ὑπαγορεύεται, ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ πατὴρ κακός

ἐστι; μήτι οὖν πρὸς ἀγαθὸν πατέρα φύσει ὠκειωθης; οὔ· ἀλλὰ πρὸς πατέρα. ὁ ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὸν σαυτοῦ πρὸς αὐτὸν, μηδὲ σκόπει τί ἐκεῖνος ποιῶ, ἀλλὰ τί σοι ποιήσαντι, κατὰ φύσιν ἡ σὴ ἕξει προαίρεσις. σὲ γὰρ ἄλλος ὐ βλά. ψει, ἂν μὴ σὺ θέλῃς. τότε ᾖ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. ὕτως ἔν ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ στρατηγοῦ, τὸ

καθῆκον εὑρήσεις, ἐὰν τὰς σχέσεις ἐθίζῃς θεωρεῖν.

ΞΙ. ΤΗΣ περὶ τὺς Θεὺς εὐσεβείας, ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνό ἐστιν, ὀρθὰς ὑπολήψεις περὶ αὐτῶν ἔχειν, ὡς ὄντων, καὶ διοικούντων τὰ ὅλα καλῶς ϗ δικαίως· καὶ σαυτὸν εἰς τοῦτο κατατετάχέναι, τὸ πείθεσθαι αὐτοῖς, καὶ ἄγειν ἐν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα ὡς ὑπὸ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ ποτὲ τοῖς Θεοῖς,

ὅτε ἐγκαλέσαις ὡς ἀμελήμενος. ἄλλως τε οὐχ οἷόν τε τοῦτο γίνεσθαι, ἐὰν μὴ ἀποσῇς τῶν οὐκ ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν καὶ τὸ κακόν. ὡς ἂν γέ τι ἐκείνων ὑπολάβῃς ἀγαθὸν ἢ κακὸν, πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς ὧν θέλεις, καὶ περιπίπτῃς οἷς μὴ θέλεις, μέμψασθαί σε, καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς τοῦτο πᾶν ζῶον, τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ τὰ αἴτια αὐτῶν, φεύγειν καὶ ἐκτρέπεσ-

δαι· τὰ δὲ ὠφέλιμα, καὶ τὰ
εἴτια αὐτῶν, μετιέναι καὶ
τεθηπέναι. ἀμήχανον οὖν,
βλάπτεσθαί τινα οἰόμενον,
χαίρειν τῷ δοκοῦντι βλάπ-
τειν· ὥσπερ καὶ τὸ αὐτῷ τῷ
βλάβῃ χαίρειν ἀδύνατον. ἔν-
θεν ὁ πατὴρ ὑπὸ υἱῶν λοιδο-
ρεῖται, ὅταν τῶν δοκούντων ἀ-
γαθῶν εἶναι, τῷ παιδὶ μὴ
μεταδιδῷ. καὶ Πολυνείκην ὁ
Ετεοκλέα τοῦτο πολεμίους ἀλ-
λήλοις ἐποίησε, τὸ ἀγαθὸν
οἴεσθαι τὴν τυραννίδα. διὰ
τοῦτο ὁ γεωργὸς λοιδορεῖ τοὺς

Θεὺς, διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ἔμπορος, διὰ τοῦτο οἱ τὰς γυναῖκας καὶ τὰ τέκνα ἀπολλύντες. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές. ὥστε ὅσις ἐπιμελεῖται τοῦ ὀρέγεσθαι ὡς δεῖ, καὶ ἐκκλίνειν, ἐν τῷ αὐτῷ καὶ εὐσεβείας ἐπιμελεῖται. σπένδειν δὲ καὶ θύειν, καὶ ἀπάρχεσθαι κατὰ τὰ πάτρια, ἑκάστοις προσήκει, καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδὲ ὀλίσχρως, μηδὲ ὑπὲρ δύναμιν.

ΧΙ. Ὅταν μαντικῇ προ-
ἴῃς, μέμνησο ὅτι μὲν, ὡς
ἀποβήσεται, οὐκ οἶδας, ἀλ-
λὰ ἧκεις ὡς ἀπὸ τοῦ μάντεως
ἀποπευσόμενος. ὁποῖον δέ τι
ἐστιν, ἐλήλυθας εἰδὼς, εἴ περ
ὃ φιλόσοφος. εἰ γὰρ ἔστι τε
τῶν οὐκ ἐφ' ἡμῖν, πᾶσα ἀ-
νάγκη μήτε ἀγαθὸν αὐτὸ εἶ-
ναι, μήτε κακόν. μὴ φέρε οὖν
πρὸς τὸν μάντιν ὄρεξιν, ἢ ἔκ-
κλισιν· εἰ δὲ μὴ, τρέμων αὐ-
τὸν πρόσει. ἀλλὰ διεγνωκὼς
ὅτι πᾶν τὸ ἀποβησόμενον, ἀ-
διάφορον, καὶ οὐδὲν πρός σε, δ-

ποῖον δ' ἂν ᾖ· ἔσαι γὰρ αὐτῷ χρήσασθαι καλῶς, καὶ τοῦτο οὐδεὶς κωλύσει θαρρῶν οὖν, ὡς ἐπὶ συμβούλους ἔρχου τοὺς Θεούς. καὶ λοιπὸν, ὅταν τί συμβουλευθῇ, μέμνησο τίνας συμβούλους παρέλαβες, καὶ τίνων παρακούσης ἀπειθήσας. ἔρχου δὲ ἐπὶ τὸ μαντεύεσθαι, καθάπερ ἠξίου Σωκράτης, ἐφ' ὧν ἡ πᾶσα σκέψις τὴν ἀναφορὰν εἰς τὴν ἔκβασιν ἔχει, καὶ ὅτε ἐκ λόγου, ὅτε ἐκ τέχνης τινὸς ἄλλης ἀφορμαὶ δίδονται πρὸς

τὸ συνιδεῖν τὸ προκείμενον. ὥστε ὅταν δέῃ συγκινδυνεῦσαι φίλῳ, ἢ πατρίδι, μὴ μαντεύεσθαι, εἰ συγκινδυνευτέον. ἐὰν γὰρ ἂν προσπῃ σοι ὁ μάντις, φαῦλα γεγονέναι τὰ ἱερά, δῆλον ὅτι ὁ θάνατος σημαίνεται, ἢ πήρωσις μέρους σώματος, ἢ φυγή. ἀλλ' ἔνεστι λόγος, καὶ σὺν τούτοις παρίσταται τῷ φίλῳ καὶ πατρίδι συγκινδυνεύειν. τοιγαροῦν τῷ μείζονι μάντει πρόσεχε, τῷ Πυθίῳ, ὃς ἐξέβαλε τοῦ ναοῦ

τὸν ὑ βοηθήσαντα ἀναιρυμέ-
νῳ τῷ φίλῳ.

33. ΤΑΞΟΝ τινὰ ἤδη χα-
ρακτῆρα σαυτῷ, καὶ τύπον,
ὃν φυλάξῃς ἐπί τε σαυτῷ ὢν,
ᾧ ἀνθρώποις ἐντυγχάνων.

Καὶ σιωπὴ τὸ πολὺ ἔστω, ἢ
λαλείσθω τὰ ἀναγκαῖα, καὶ
ὀλίγα. σπανίως δέ ποτε
καιρῷ παρακαλοῦντος ἐπὶ
τὸ λέγειν τι ἥξομεν, ἀλλὰ
περὶ ὑδενὸς τῶν τυχόντων,
μὴ περὶ μονομάχων, μηδὲ
ἱπποδρομίων, μὴ περὶ ἀθ-
λητῶν, μὴ περὶ βρωμάτων ἢ

σωμάτων τῶν ἐκάστῳ λεγομένων. μάλιστα δὲ, μὴ περὶ ἀνθρώπων ψέγοντες, ἢ ἐπαινοῦντες, ἢ συγκρίνοντες. ἂν μὲν οὖν οἷός τε ᾖς, μέταγε τοῖς σοῖς λόγοις τὺς τῶν συνόντων ἐπὶ τὸ πρόσηκον· εἰ δὲ ἐν ἀλλοφύλοις ἀπολειφθεὶς τύχοις, σιώπα.

Τέλως μὴ πολὺς ἔσω, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀναιμένος.

Ορκον παραίτησαι, εἰ μὴ ἐπίον τε, ὡς ἅπαν· εἰ δὲ μὴ, ἐκ τῶν ἐνόντων.

Εξιάσεις τὰς ἔξω ἐπὶ ἰδί-

τικὰς διακρίνω. ἐὰν δέ ποτε γένηται καιρὸς, ἐντεταάσθω σοι ἡ προσοχὴ, μήποτε ἄρα ὑποῤῥυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ, ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συναναστρεφόμενον αὐτῷ μολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ᾖ τύχῃ καθαρός.

Τὰ περὶ τὸ σῶμα, μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε· οἷον τροφὰς, πόμα, ἀμπεχόνην, οἰκίαν, οἰκετίαν. τὰ δὲ πρὸς δόξαν, ἢ τρυφὴν, ἅπαν περίγραφε.

Περὶ ἀφροδίσια, εἰς δύναμιν, πρὸ γάμου καθαρευτέον· ἁπτομένῳ δ', ὡς νόμιμόν ἐστι, μεταληπτέον. μὴ μέντοι ἐπαχθὴς γίνου τοῖς χρωμένοις, μηδὲ ἐλεγκτικός μηδὲ πολλαχοῦ τὸ, ὅτι αὐτῷ οὐ χρῇ, παράφερε.

Ἐάν τίς σοι ἀπαγγείλῃ, ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα· ἀλλ' ἀποκρίνου, ὅτι ἠγνόει γὰρ τὰ ἄλλα προσόντα μοι κακὰ, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

Εἰς τὰ θέατρα τὸ πολὺ παριέναι, οὐκ ἀναγκαῖον· ἐὰ δέ ποτε καιρὸς ἔῃ, μηδενὶ σπουδάζων φαίνου ἢ σεαυτῷ· τοῦτ' ἔστι, θέλε γίνεσθαι μόνα τὰ γινόμενα, καὶ νικᾶν μόνον τὸν νικῶντα. οὕτω γὰρ οὐκ ἐμποδισθήσῃ. βοῆς δὲ ἢ τῷ ἐπιγελᾶν τινι, ἢ ἐπιπολὺ ἐπικινεῖσθαι, παντελῶς ἀπέχου. καὶ μετὰ τὸ ἀπαλλαγῆναι, μὴ πολλὰ περὶ τῶν γενομένων διαλέγου, ὅσα μὴ φέρει πρὸς τὴν σὴν ἐπανόρθωσιν. ἐμφαίνεται γὰρ ἐκ

τῦ τοιύτυ, ὅτι ἐθαύμασας τὴν θέαν.

Εἰς ἀκροάσεις τινῶν μὴ ἔρχε, μηδὲ ῥαδίως πάριθι. παριὼν δὲ, τὸ σεμνὸν, ϗ εὐσταθὲς, ϗ ἅμα ἀνεπαχθὲς φύλασσε.

Ὅταν τινὶ μέλλῃς συμβάλλειν, ϗ μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σαυτῷ, τί ἂν ἐποίησεν ἐν τούτῳ Σωκράτης ἢ Ζήνων· ϗ οὐκ ἀπορήσεις, τοῦ χρήσασθαι πρεσηκόντως τῷ ἐμπεσόντι.

Ὅταν ποιτᾶς πρός τινας

τῶν μέγα δυναμένων, πρόσελε, ὅτι οὐκ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι οὐκ ἀνοιχθήσονται σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου. κἂν σὺν τούτοις ἐλθεῖν καθήκῃ, φέρε τὰ γινόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς σεαυτὸν, ὅτι οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γάρ, καὶ διαβεβλημένον πρὸς τὰ ἐκτός.

Ἐν ταῖς ὁμιλίαις ἀπέστω, τὸ τινὰ τῶν ἑαυτῷ ἔργων ἢ κινδύνων ἐπὶ πολὺ καὶ ἀμέτρως μεμνῆσθαι. οὐ γὰρ ὡς

σοὶ ἡδύ ἐστι τὸ τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τὸ τῶν σοὶ συμβεβηκότων ἀκούειν. ἀπέστω δὲ καὶ τὸ γελωτα κινεῖν· ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτισμὸν, καὶ ἅμα ἱκανὸς τὴν αἰδῶ τῶν πρός σε τῶν πλησίον ἀνιέναι. ἐπισφαλὲς δὴ καὶ τὸ εἰς αἰσχρολογίαν προελθεῖν, ὅταν οὖν τι συμβῇ τοιοῦτον, ἂν μὲν εὔκαιρον ᾖ, ἐπίπληξον τῷ προελθόντι· εἰ δὲ μὴ, τῷ γε ἀποσιωπῆσαι, καὶ ἐρυθριᾶσαι, καὶ σκυθρωπῆσαι, δῆλος

γίνῃ δυσχεραίνων τῷ λόγῳ.

34. ΕΑΝ ἡδονῆς τινος φαντασίαν λάβῃς, φύλασσε σαυτὸν, μὴ συναρπασθῇς ὑπ' αὐτῆς· ἀλλ' ἐκδεξάσθω σε τὸ πρᾶγμα, καὶ ἀναβολήν τινα παρὰ σεαυτοῦ λάβε. ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὃν τε ἀπολαύσεως τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μεταμελήσεως, καὶ αὐτὸς σεαυτῷ λοιδορήσεις. καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυ-

αὐτόν. ἂν δέ σοι καιρὸς φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μή σε ἥττήσῃ τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδύ, καὶ ἐπαγωγόν· ἀλλ' ἀντιτίθει, πόσῳ ἄμεινον τὸ συνειδέναι σαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

35. Ὅταν τι, διαγνοὺς ὅτι ποιητέον ἐστὶ, ποιῇς, μηδέποτε φύγῃς ὀφθῆναι πράσσων αὐτό, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ μέλλωσι περὶ αὐτοῦ ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς, αὐτὸ τὸ ἔργον

φεύγε· εἰ δὲ ὀρθῶς, τί φοβῇ τὰς ἐπιπλήξονλας ὐκ ὀρθῶς;

36. Ὡς τὸ, ἡ ἡμέρα ἐστὶν, ἤτοι νύξ ἐστι, πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν· πρὸς δὲ τὸ συμπεπλεγμένον ἀπαξίαν· ὕτω καὶ ἐν συμποσίῳ, τὴν μείζονα μερίδα ἐκλέξασθαι πρὸς μὲν τὸ σῶμα μεγάλην ἔχει ἀξίαν, πρὸς δὲ τὸ φυλάξαι τὸ κοινωνικὸν ἐν ἑστιάσει ἀπαξίαν ἔχει. ὅταν οὖν συνεσθίῃς ἑτέρῳ, μέμνησο, ὃ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν

παραχειμένων ὁρᾶν, ἀλλὰ χ τὴν πρὸς τὸν ἑσιάτορα οἵαν δεῖ φυλαχθῆναι.

37. ΕΑΝ ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ᾖσχημόνησας· καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, παρέλιπες.

38. ΕΝ ΤΩ περιπατεῖν καθάπερ προσέχεις, μὴ ἐπιβῇς ὄπλῳ, ἢ στρέψῃς τὸν πόδα σὺ οὕτω πρόσεχε, μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ. καὶ τοῦτ' ἂν ἐφ' ἑκάστῳ ἔργῳ παραφυλάσσωμεν, ἀσφα-

λέστερον ἀψώμεθα τῦ ἔργυ.

39. ΜΕΤΡΟΝ κτήσεως τὸ σῶμα ἑκάστῳ, ὡς ὁ πὺς ὑποδήματος· ἂν μὲν ᾖν ἐπὶ τύτυ στῆς, φυλάξεις τὸ μέτρον· ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνῦ λοιπὸν ἀνάγκη σε φέρεσθαι. καθάπερ χ ἐπὶ τῦ ὑποδήματος, ἐὰν ὑπὲρ τὸν πόδα ὑπερβῇς, γίνεται κατάχρυσον ὑπόδημα, εἶτα πορφυρῦν, εἶτα κεντητόν. τῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος ἓν ἐς ἐστιν.

40. ΑΙ ΓΥΝΑΙΚΕΣ εὐθὺς

ἀπὸ τεσσαρεσκαίδεκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κυρίαι καλοῦνται. τοιγαρῶν ὁρῶσαι, ὅτι ἄλλο μὲν ὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, καὶ ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον, ἵνα αἴσθωνται, διότι ἐπ' ὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες ἐν σωφροσύνῃ.

41. ΑΦΤΙΑΣ σημεῖον, τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ

σῶμα· οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἐπὶ πολὺ ἐσθίειν, ἐπὶ πολὺ πίνειν, ἐπὶ πολὺ ἀποπατεῖν, ἐχεύειν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον· περὶ δὲ τὴν γνώμην ἡ πᾶσα ἔσω ἐπιστροφή.

42. ΟΤΑΝ τὶς σὲ κακῶς τι ποιῇ, ἢ κακῶς σε λέγῃ, μέμνησο ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε ἦν ἀκολυθεῖν αὐτὸν τῷ σοι φαινομένῳ, ἀλλὰ τῷ ἑαυτῷ. ὥστε εἰ κακῶς αὐτῷ φαίνεται, ἐκεῖνος βλάπτε-

ται, ὅς τις καὶ ἐξηπάτηται. καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἄν τις ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βλάπτεται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων οὖν ὁρμώμενος, πρᾴως ἔξεις πρὸς τὸν λοιδοροῦντα. ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστῳ, ὅτι ἔδοξεν αὐτῷ.

43. ΠΑΝ πρᾶγμα δύο ἔχει λαβάς, τὴν μὲν φορητήν, τὴν δὲ ἀφόρητον. ὁ ἀδελφὸς ἐὰν ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ· αὕτη

γὰρ λαβή ἐστιν αὐτῷ ὡ φορητή· ἀλλὰ ἐκεῖθεν μᾶλλον, ὅτι ἀδελφὸς, ὅτι σύντροφος· καὶ λήψῃ αὐτὸ, καθ' ὃ φορητόν ἐστιν.

44. Ὅττοι οἱ λόγοι ἀσύναχτοι, ἐγώ σε πλησιώτερός εἰμι, ἐγώ σε ἄρα χρείσσων· ἐγώ σε λογιώτερος, ἐγώ σε ἄρα χρείσσων. ἐκεῖνοι δὲ μᾶλλον συναχτοὶ, ἐγώ σε πλησιώτερός εἰμι, ἢ ἐμὴ ἄρα κτῆσις τῆς σῆς χρείσσων· ἐγώ σε λογιώτερος, ἢ ἐμὴ ἄρα λίξις τῆς σῆς χρείσσων·

σὺ δέ γε ὅτε κτῆσις εἶ, ὅτε λέξις.

45. ΛΟΥΕΤΑΙ τις ταχέως; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς, ὅτι κακῶς, ἀλλ' ὅτι πολύν. πρὶν γὰρ διαγνῶναι τὸ δόγμα, πόθεν οἶσθα εἰ κακῶς; ὕτως οὐ συμβήσεταί σοι, ἄλλας μὲν φαντασίας καταληπτικὰς καλαλαμβάνειν, ἄλλαις δὲ συγκατατίθεσθαι.

46. ΜΗΔΑΜΟΥ σαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει

τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων· ἀλλὰ ποίει τὸ ἀπὸ τῶν θεωρημάτων. οἷον ἐν συμποσίῳ μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλὰ ἔσθιε ὡς δεῖ. μέμνησο γὰρ, ὅτι οὕτω καὶ Σωκράτης παντα χόθεν ἀφῃρήκει τὸ ἐπιδεικτικόν· ἤρχοντο πρὸς αὐτὸν, βυλόμενοι φιλοσόφοις ὑπ' αὐτῦ συναθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτύς· οὕτως ἐνείχετο παρορώμενος. ὥστε κἂν περὶ θεωρήματός τινος ἐμπέσῃ λόγος ἐν ἰδιώταις, σιώπα τὸ

πολύ. μέγας γὰρ ὁ κίνδυνος, εὐθὺς ἐξεμέσαι, ἃ ὐκ ἔπεψας. κ᾽ ὅταν εἴπῃ σοι τὶς, ὅτι ὐδὲν οἶσθα, κ᾽ σὺ μὴ δηχθῇς, τότ᾽ ἴσθι, ὅτι ἤρξω τῷ ἔργῳ. ἐπεὶ κ᾽ τὰ πρόβατα, ὑτὸν χόρτον ἐξεμέσαντα, τοῖς ποιμέσιν ἐπιδεικνύει, πόσον ἔφαγεν. ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει καὶ γάλα. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλ᾽ ἀπ᾽ αὐτῶν πεφθέντων τὰ ἔργα.

47. ΟΤΑΝ εὐλελῶς ἥρμοσ-

μένος ἧς καὶ τὸ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ· μηδ', ἂν ὕδωρ πίνῃς, ἐκ πάσης ἀφορμῆς λέγε, ὅτι ὕδωρ πίνω. ἀλλ' ἐννόει πρῶτον πόσῳ λιτότεροι ἡμῶν εἰσιν οἱ πτωχοὶ, καὶ πόσῳ καρτερικώτεροι. κἂν ἀσκῆσαί ποτε πρὸς πόνον καὶ καρτερίαν θέλεις, σεαυτῷ, καὶ μὴ τοῖς ἔξω. μὴ τὺς ἀνδριάντας περιλάμβανε. ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχρῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἰπῃς.

48. ΙΔΙΩΤΟΥ στάσις καὶ χαρακτήρ· ὑδέποτε ἐξ ἑαυτῦ προσδοκᾷ ὠφέλειαν ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις καὶ χαρακτήρ· πᾶσαν ὠφέλειαν καὶ βλάβην ἐξ ἑαυτῦ προσδοκᾷ. σημεῖα προκόπτοντος· ὐδένα ψέγει, ὐδένα ἐπαινεῖ, ὐδένα μέμφεται, ὐδενὶ ἐγκαλεῖ, ὐδὲν περὶ ἑαυτῦ λέγει, ὡς ὄντος τινὸς, ἢ εἰδότος τι· ὅταν ἐμποδισθῇ τι, ἢ κωλυθῇ, ἑαυτῷ ἐγκαλεῖ· κἂν τις αὐτὸν ἐπαινῇ, καταγελᾷ τῦ ἐπαι-

νῦντος αὐτὸς παρ' ἑαυτῷ· κἂν ψέγῃ, οὐκ ἀπολογεῖται· περίεισι δὲ καθάπερ οἱ ἄῤῥωστοι, εὐλαβούμενός τι κινῆσαι τῶν καθισαμένων, πρὶν πῆξιν λαβεῖν· ὄρεξιν ἅπασαν ἦρχεν ἀφ' ἑαυτοῦ· τὴν δ' ἔκκλισιν εἰς μόνα τὰ παρὰ φύσιν τῶν ἐφ' ἡμῖν μετατέθεικεν· ὁρμῇ πρὸς ἅπαντα ἀνειμένῃ χρῆται· ἂν ἠλίθιος ἢ ἀμαθὴς δοκῇ, οὐ πεφρόντικεν· ἐνί τε λόγῳ, ὡς ἐχθρὸν ἑαυτὸν παραφυλάσσει, ὃ ἐπίβουλον.

49. Ὅταν τις ἐπὶ τῷ νοεῖν καὶ ἐξηγεῖσθαι δύνασθαι τὰ Χρυσίππου σεμνύνηται, λέγε αὐτὸς πρὸς σαυτὸν, ὅτι εἰ μὴ Χρύσιππος ἀσαφῶς ἐγεγράφει, οὐδὲν ἂν εἶχεν οὗτος ἐφ' ᾧ σεμνύνηται. ἐγὼ δὴ τί βούλομαι; καταμαθεῖν τὴν Φύσιν, καὶ ταύτῃ ἕπεσθαι. ζητῶ οὖν, τίς ἐστιν ὁ ἐξηγούμενος; καὶ ἀκούσας ὅτι Χρύσιππος, ἔρχομαι πρὸς αὐτόν. ἀλλ' οὐ νοῶ τὰ γεγραμμένα. ζητῶ οὖν τὸν ἐξηγούμενον. καὶ μέχρι τούτων ὅπου σεμνὸν οὐ-

δέν. ὅταν δὲ εὕρω τὸν ἐξηγού-
μενον, ἀπολείπεται χρῆσθαι
ταῖς παρηγγελμένοις· τοῦτο
αὐτὸ μόνον σεμνόν ἐστιν. ἂν
δὲ αὐτὸ τοῦτο ἐξηγεῖσθαι
θαυμάσω, τί ἄλλο ἢ γραμ-
ματικὸς ἀπετελέσθην ἀντὶ
φιλοσόφου; πλὴν γε δὴ, ὅτι
ἀντὶ Ὁμήρου Χρύσιππον ἐξη-
γούμενος. μᾶλλον οὖν, ὅταν
τις εἴπῃ μοι, ἐπαναγνωθί μοι
Χρύσιππον, ἐρυθριῶ, ὅταν μὴ
δύνωμαι ὅμοια τὰ ἔργα καὶ
σύμφωνα ἐπιδεικνύειν τοῖς
λόγοις.

50. Ὅσα προτίθεται, τούτοις, ὡς νόμοις, ὡς ἀσεβήσων ἂν παραβῇς τι τούτων, ἔμμενε· ὅ,τι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ οὐκέτ' ἔστι σόν. εἰς ποῖον οὖν ἔτι χρόνον ἀναβάλῃ, τὸ τῶν βελτίστων ἀξιοῦν σεαυτὸν, ἢ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει σε συμβάλλειν· καὶ συμβέβληκας; ποῖον οὖν ἔτι διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπερθῇς τὴν ἐπα-

νόρθωσιν ποιῆσαι τὴν σεαυτοῦ; οὐκ ἔτι εἰ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἂν τοίνυν ἀμελήσῃς, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ ὑπερθέσεις ἐξ ὑπερθέσεων ποιῇς, προθέσεις ἐκ προθέσεων, καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζῃς, μεθ' ἃς προσέξεις σεαυτῷ, λήσεις σεαυτὸν καὶ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις καὶ ζῶν καὶ ἀποθνήσκων. ἤδη οὖν ἀξίωσον σεαυτὸν βιοῦν ὡς τέλειον, καὶ προκόπτοντα· καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἕως σοι

νόμος ἀπαράβατος. κἂν ἐπίπονόν τι ἢ ἡδὺ, ἢ ἔνδοξον ἢ ἄδοξον προσάγηται, μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ἤδη πάρεσι τὰ Ολύμπια, καὶ οὐκ ἔστιν ἀναβάλλεσθαι· καὶ ὅτι παρὰ μίαν ἥτταν καὶ ἔνδοσιν ἢ ἀπόλλυσθαι προκοπὴ, ἢ σώζεται. Σωκράτης οὕτως ἀπετελέσθη, ἐπὶ πάντων προάγων ἑαυτὸν, μηδενὶ ἄλλῳ προσέχων ἢ τῷ λόγῳ. σὺ δὲ εἰ καὶ μήπω εἶ Σωκράτης, ὡς Σωκράτης γε εἶναι βουλόμενος, ὠφέλεις βιοῦν.

51. Ὁ ΠΡΩΤΟΣ ϗ ἀναγκαιότατος τόπος ἐστὶν ἐν φιλοσοφίᾳ, ὁ τῆς χρήσεως τῶν θεωρημάτων· οἷον, ὁ τῦ μὴ ψεύδεσθαι. ὁ δεύτερος, ὁ τῶν ἀποδείξεων· οἷον, πόθεν ὅτι ϗ δεῖ ψεύδεσθαι. τρίτος, ὁ αὐτῶν τούτων βεβαιωτικὸς, ϗ διαρθρωτικός· οἷον, πόθεν ὅτι τῦτο ἀπόδειξις. τί γὰρ ἐστιν ἀπόδειξις; τί ἀκολυθία; τί μάχη; τί ἀληθές; τί ψεῦδος; ὑκῶν ὁ μὲν τρίτος τόπος ἀναγκαῖος διὰ τὸν δεύτερον, ὁ δὲ δεύτερος διὰ

τὸν πρῶτον· ὁ δὲ ἀναγκαιότατος, καὶ ὅπου ἀναπαύεσθαι δεῖ, ὁ πρῶτος. ἡμεῖς δὲ ἔμπαλιν ποιοῦμεν. ἐν γὰρ τῷ τριτῷ τόπῳ διαλρίβομεν, καὶ περὶ ἐκεῖνόν ἐσιν ἡμῖν ἡ πᾶσα σπυδή· τοῦ δὲ πρώτου παντελῶς ἀμελοῦμεν. τοιγαροῦν ψευδόμεθα μέν· πῶς δὲ ἀποδείκνυται, ὅτι ὐ δεῖ ψεύδεσθαι, πρόχειρον ἔχομεν.

52. ΕΠΙ παντὸς πρόχειρα ἐκτέον ταῦτα·

Ἄγε δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ Πεπρωμένη.

Ὅποι ποθ' ὑμῖν εἶμι διατεταγμένος·

Ὡς ἕψομαί γ' ἄσκνος. ἢν δὲ μὴ θέλω,

Κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.

Ὅστις δ' ἀνάγκῃ συγκακὸς χώρημεν καλῶς,

Σοφὸς παρ' ἡμῖν, καὶ τὰ θεῖ' ἐπίσταται.

Ἀλλὰ καὶ τὸ τρίτον· ὦ Κρίτων, εἰ ταύτῃ τοῖς Θεοῖς φί-

λον, ταύτῃ γινέσθω· ἐμὲ δὲ Ανυτος καὶ Μέλιτος ἀποκτεῖναι μέν δύνανται, βλάψαι δὲ οὔ.

ΤΕΛΟΣ.

EX

ARRIANO.

ΚΑΙ τίς ἐξαρκεῖ λόγος ὁμοίως ἐπαινέσαι, ἢ παρασῆσαι; εἰ γὰρ νῦν εἴχομεν, ἄλλό τι ἔδει ἡμᾶς ποιεῖν καὶ κοινῇ καὶ ἰδίᾳ, ἢ ὑμνεῖν τὸ Θεῖον, καὶ εὐφημεῖν, καὶ ἐπεξέρχεσθαι τὰς χάριτας; οὐκ ἔδει καὶ σκάπτοντας, καὶ ἀρῶντας, καὶ ἐσθίοντας, ᾄδειν τὸν ὕμνον τὸν εἰς τὸν Θεόν; μέγας

ὁ Θεὸς, ὅτι ἡμῖν παρέσχεν ὄργανα τοιαῦτα, δι' ὧν τὴν γὴν ἐργασόμεθα· μέγας ὁ Θεός, ὅτι χεῖρας δέδωκεν, ὅτι κατάποσιν, ὅτι κοιλίαν, ὅτι αὔξεσθαι λελη θότως, ὅτι παθεύδοντας ἀναπνεῖν. ταῦτα ἐφ' ἑκάστῳ ἐφυμνεῖν ἔδει, καὶ τὸν μέγιστον καὶ θειότατον ὕμνον ἐφυμνεῖν, ὅτι τὴν δύναμιν ἔδωκε τὴν παρακολουθητικὴν τούτων, καὶ ὁδῷ χρησικήν. τί οὖν; ἐπεὶ οἱ πολλοὶ ἀποτετύφλωσθε, οὐκ ἔδει τινὰ εἶναι ὃς ταύτην ἐκπληρώσει τὴν χώ-

ραν, καὶ ὑπὲρ πάντων διαδιδόντα τὸν ὑμνὸν τὸν εἰς τὸν Θεόν; τί γὰρ ἄλλο δύναμαι γέρων χωλὸς, εἰ μὴ ὑμνεῖν τὸν Θεόν; εἰ γῦν ἀηδὼν ἤμην, ἐποίουν τὰ τῆς ἀηδόνος· εἰ κύκνος, τὰ τῦ κύκνυ. νῦν δὲ λογικός εἰμι, ὑμνεῖν με δεῖ τὸν Θεόν· τῦτό μου τὸ ἔργον ἐστὶ, ποιῶ αὐτό· ὃ δ' ἐγκαταλείψω τὴν τάξιν ταύτην, ἐφόσον ἂν δίδωται· καὶ ὑμᾶς ἐπὶ τὴν αὐτὴν ταύτην ᾠδὴν παρακαλῶ.

EX

ARRIANO.

Ὅτι χρῶ μοι λοιπὸν ὡς ὃ ἂν θέλῃς, ὁμογνωμονῶ σοι, ἴσος εἰμὶ οὐδὲν παραιτοῦμαι τῶν σοι δοκούντων· ὅπου θέλεις ἄγε· ἣν θέλῃς ἐσθῆτα περίθες· ἄρχειν με θέλεις, ἰδιωτεύειν, μένειν, φεύγειν, πένεσθαι, πλουτεῖν; ἐγώ σοι ὑπὲρ ἁπάντων τούτων πρὸς τοὺς ἀνθρώπους ἀπολογήσομαι.

EX

ALCIBIADE

SECUNDO.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ
καὶ εὐχομένοις καὶ ἀνεύκ-
τοις
Δμμι δίδυ, τὰ δὲ δεινὰ καὶ
εὐχομένοις ἀπαλέξειν πε-
λεύειν.

ὁ τῦ

ΚΛΕΑΝΘΟΥΣ

ὙΜΝΟΣ

ΕΙΣ ΤΟΝ ΘΕΟΝ.

ΚΥΔΙΣΤ' ἀθανάτων, πολυ-
ώνυμε, παγκραλὲς αἰεὶ,
Ζεὺς, φύσεως ἄρχηγὲ, νόμε
μειλὰ πάντα κυβερνῶν,
Χαῖρε. σὲ γὰρ πᾶσι θέμις
θνητοῖσι προσαυδᾶν·
Ἐκ σῦ γὰρ γένος ἐσμὲν, ἦχε
μίμημα λαχόντες

Μῦνον, ὅσα ζώει τε καὶ ἕρπει
θνητ' ἐπὶ γαῖαν.
Τῷ σε καθυμνήσω, καὶ σὸν
κράτος αἰὲν ἀείσω.
Σοὶ δ' πᾶς ὅδε κόσμος ἑλισ-
σόμενος περὶ γαῖαν
Πείθεται, ἦκεν ἄγῃς, ᾗ ἐκὼν
ὑπὸ σεῖο κραταιῖται,
Τοῖον ἔχεις ὑπουργὸν ἀνικήτοις ὑπὸ χερσὶν
Ἀμφήκη πυρόεντα, διζήσοντα κεραυνόν·
Τῷ γὰρ ὑπὸ πλήγης φύσεως πάντ' ἐρρίγασι,
Ὦ, σὺ καὶ ευθύνεις κοινὸν λό-

γον, ὃς διὰ πάντων
Φοῖτα μιγνύμενος· μεγάλων
μικροῖσι φαέσσι,
Ὅς τόσσος γεγαὼς ὕπατος
βασιλεὺς διὰ παντὸς,
Οὐδέ τι γίγνεται ἔργον ἐπὶ
χθονὶ σῇ δίχα δαίμων,
Οὔτε κατ' αἰθέριον θεῖον πό-
λον, ὔτ' ἐπὶ πόντῳ,
Πλὴν ὁπόσα ῥέζουσι κακοὶ
σφετέρῃσιν ἀνοίαις.
Καὶ κοσμεῖς τὰ ἄκοσμα· ᾧ φ
φίλα σοὶ φίλα ἔσιν.
Ὧδε γὰρ εἷς ἓν πάντα συνήρ-
μοκας ἐσθλὰ κακοῖσιν,

Ὥσθ' ἕνα γίνεσθαι πάντων
λόγον αἰὲν ἐόντων.
Ὃν φεύγοντες ἐῶσιν ὅσοι θνη-
τῶν κακοί εἰσιν.
Δύσμοροι, ὅττ' ἀγαθῶν μὲν
ἀεὶ κτῆσιν ποθέοντες,
Οὔτ' ἐσορῶσι θεῦ κοινὸν νόμον,
οὔτε κλύουσιν·
Ὤ, κεν πειθόμενοι σὺν νῷ βίον
ἐσθλὸν ἔχοιεν·
Αὐτοὶ δ' αὖ ὁρμῶσιν, ἄνευ κα-
λῆ ἄλλος ἐπ' ἄλλα,
Οἱ μὲν ὑπὲρ δόξης σπουδὴν
δυσέριστον ἔχοντες.
Οἱ δ' ἐπὶ κερδοσύνας τείραμ-

μένοι ὑδενὶ κόσμῳ.
Αλλοι δ' εἰς ἄνεσιν, καὶ σώμα-
τος ἡδέα ἔργα.
* * * ἐπ' ἄλλοτε δ' ἄλλα φέ-
ροντες,
Σπεύδοντες μάλα πάμπαν
ἐναντία τῶνδε γενέσθαι.
Αλλὰ Ζεὺς πάνδωρε, κελαι-
νεφὲς, ἀρχιμέραννε,
Ανθρώποις βύσσ' ἀπαρασύνης
ἀπὸ λυγρῆς,
Ἣν σὺ πάλιν σκέδασον ψυχῆς
ἄπο, δὸς δὲ κυρῆσαι
Γνώμης, ἣ πίσυνος σὺ δίκης
μέτα πάντα κυβερνᾷς·

Οφρ' ἄν τιμηθέντες ἀμειβώ-
μεσθά σε τιμῇ,
Τμνῦντες τὰ σὰ ἔργα διηνε-
κὲς, ὡς ἐπέοικε
Θνητὸν ἐόντα· ἐπεὶ ὔτε βροτοῖς
γέρας ἄλλοτε μεῖζον,
Οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον
ἐν δίκῃ ὑμνεῖν.

ΤΕΛΟΣ.